Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: tro-ad

*Αἰσχύλου Σχόλια* · Aeschylus Scholia

# Scholia-Aeschylus's Meters

*Σχόλια εἰς τοὺς Μέτρους τοῦ Αἰσχύλου*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Βυζαντινὴ Ἑλληνική* Byzantine Greek
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

Th t ΕΠΤΑ ΕΠΙ ΘΗΒΑ Σ. Κάδμου πολῖται] ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου.

Th 1 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οζʹ, ὧν τελευταῖος πόλις γὰρ εἶ πράσσουσα δαίμονας τίει. θρέομαι φοβερὰ] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ριδʹ, ὧν τὰ μέν ἐστι χοριαμβικὰ, τὰ δὲ, εἰ βούλει, καὶ ἀντισπαστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ ἡμιόλια καὶ δίμετρα ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα, ὧν τελευταῖον “μνήστορες ἐστέ μοι.

Th 78 ” οὕτω δὲ χρὴ μετρηθῆναι μᾶλλον, ἵν’ εἴη κατάλληλα τὰ κῶλα, ὡς καὶ τὰ τῶν ἄλλων χορῶν. ὑμᾶς ἐρωτῶ] εἴσθεσις διπλῆς, ἧς προτίθεται ἡ μονοστροφικὴ αὕτη περίοδος, στίχων οὖσα ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων καʹ.

Th 203 ὦ φίλον] ὅμοια χρὴ εἶναι τοῖς ἑξῆς τρίμετρα βραχυκατάληκτα. τί οὖν] ἰαμβικοὶ τρίμετροι στίχοι γʹ.

Th 211 ἀλλ’ ἐπὶ δαιμόνων] ἀντισπαστικὰ κῶλα εʹ. ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς ἄνω στροφῆς. μήποτ’ ἐμὸν] ἑτέρα στροφή.

Th 219 τὰ δὲ κῶλα ἀντισπαστικὰ ὅμοια τοῖς ἄνω γʹ. τὸ δὲ τέταρτον ἡμιόλιον. μή μοι] ἰαμβικοὶ στίχοι τρεῖς.

Th 226 ἔστι θεοῖς] ἑτέρα ἀντιστροφή. τὰ δὲ κῶλα ἀντισπαστικὰ ὅμοια τοῖς τῆς στροφῆς τριμέτροις βραχυκαταλήκτοις γʹ, τὸ δὲ δʹ ἡμιόλιον. ἀνδρῶν τάδ’ ἔστι] ἰαμβικοὶ στίχοι τρεῖς.

Th 233 διὰ θεῶν] ἑτέρα στροφή. τὰ δὲ κῶλα ἀντισπαστικὰ τρίμετρα ὅμοια τοῖς ἄνω βʹ. τὸ δὲ γʹ ἡμιόλιον. οὔτοι φθονῶ] ἰαμβικοὶ στίχοι τρεῖς.

Th 239 ποταίνιον κλύουσα] ἑτέρα ἀντιστροφή. τὰ δὲ κῶλα ἀντισπαστικὰ τρίμετρα ὅμοια τοῖς ἄνω βʹ. τὸ δὲ γʹ ἡμιόλιον. μὴ νῦν] οἱ ἑξῆς στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μεʹ.

Th 287 μέλει] οὗτος ὁ χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν πδʹ, ὧν τὰ μέν ἐστι τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ, τὰ δὲ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, τὰ δὲ ἡμιόλια. εἰσὶ δὲ ἀναπαιστικά τινα δίμετρα ἀκατάληκτα, ὧν τελευταῖον “ἀλγέων ἐπίρροθον.” ἐν ἐκθέσει δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἕξ. τὸν ἀμόν νυν ἀντίπαλον] ἀντισπαστικὰ κῶλα εʹ.

Th 417 τὰ δʹ τρίμετρα βραχυκατάληκτα, τὸ δὲ εʹ ἡμιόλιον. ἔχουσι δὲ καὶ ταῦτα καὶ τὰ ἑξῆς πάντα τοὺς πλείους τῶν ποδῶν καὶ πεντασυλλάβους καὶ ἑξασυλλάβους. διαλύονται γὰρ καὶ τῶν

τετρασυλλάβων ποδῶν αἱ μακραὶ συλλαβαὶ εἰς δύο βραχείας. ἔοικε δὲ στροφῇ· ἔχει γὰρ καὶ ἀντιστροφὴν τὰ κῶλα τὰ ἑξῆς τοῦ χοροῦ. ἴσθι δὲ ὅτι οἱ χορίαμβοι οὐκ ἐν τάξει αὐτῶν κεῖνται, ἀλλὰ προστιθεμένης καὶ ἑτέρας συλλαβῆς γίνονται πεντασύλλαβοι καὶ ἀποτελοῦσιν ἐπιτρίτους. ὁμοίως καὶ οἱ λοιποί. τούτῳ μὲν οὕτως] διπλῆ ἑτέρα περίοδος.

Th 422 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λʹ. ὅλοιθ’ ὃς πόλει] ἀντισπαστικὰ κῶλα εʹ ἰσόμετρα τοῖς πρὸ αὐτῶν.

Th 452 ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφὴ τῆς προτέρας στροφῆς. ἐπεύχομαι δὴ τάδε] ἀντισπαστικὰ κῶλα εʹ.

Th 481 τὰ δʹ τρίμετρα βραχυκατάληκτα, ὅμοια τοῖς πρώτοις. τὸ δὲ εʹ ἡμιόλιον. ἔοικε δὲ εἶναι ἑτέρα στροφή. τέταρτος ἄλλος] διπλῆ ἑτέρα περίοδος.

Th 486 οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι λεʹ. πέποιθα τὸν Διὸς] ἀντισπαστικὰ κῶλα εʹ ἰσόμετρα τοῖς πρὸ αὐτῶν.

Th 521 ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφή. ἱκνεῖται λόγος] ἀντισπαστικὰ κῶλα εʹ.

Th 563 τὰ μὲν δʹ τρίμετρα. βραχυκατάληκτα, τὸ δὲ εʹ ἡμιόλιον. ἔοικε δὲ καὶ ταῦτα ἑτέρα εἶναι στροφή· ἔχει γὰρ καὶ ἀντιστροφὴν τὰ κῶλα τοῦ ἑξῆς χοροῦ. ἔχει δὲ καὶ ταῦτα πεντασυλλάβους καὶ ἑξασυλλάβους πόδας. κλύοντες θεοὶ] ἀντισπαστικὰ κῶλα εʹ ἰσόμετρα τοῖς πρὸ αὐτῶν.

Th 626 ἔοικε δὲ εἶναι ταῦτα ἀντιστροφή. τί μέμηνας τέκνον] ἀντισπαστικὰ κῶλα γʹ.

Th 686 τὰ δύο τρίμετρα βραχυκατάληκτα ὅμοια τοῖς πρὸ αὐτῶν, τὸ δὲ τρίτον ἡμιόλιον. ἔοικε δὲ στροφῇ. ἰσόμετρα δέ εἰσι τοῖς προρρηθεῖσι, εἰ καὶ πλείω συλλαβὰς ἔχει. ὠμοδακὴς] ἀντισπαστικὰ κῶλα δʹ ἰσόμετρα τοῖς ἄνω τοῦ χοροῦ κώλοις.

Th 705 νῦν ὅτε σοι] ἀντισπαστικὰ κῶλα δʹ ἰσόμετρα τοῖς ἄνω τοῦ χοροῦ κώλοις. πέφρικα] οὗτος ὁ χορὸς συνέστηκεν ἐκ κώλων οβʹ.

Th 720 ὧν τὰ πρῶτα ιδʹ ἀναπαιστικὰ, τὰ μὲν δίμετρα βραχυκατάληκτα, τὰ δὲ ἀκατάληκτα, ἤτοι ἑφθημιμερῆ· τὰ δὲ ἑξῆς πάντα χοριαμβικὰ καὶ ἀντισπαστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ ἡμιόλια καὶ τρίμετρα βραχυκατάληκτα. θαρσεῖτε παῖδες] εἴσθεσις μερικῆς διπλῆς.

Th 792 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετρα ἀκατάληκτοι λʹ. ὦ μεγάλε Ζεῦ] ὁ χορὸς οὗτος συνίσταται ἐκ κώλων καὶ στίχων μεʹ, ὧν τὰ πρῶτα δέκα ἀναπαιστικὰ, τὰ μὲν πρῶτα δύο δίμετρα ἀκατάληκτα, τὸ δὲ γʹ μονόμετρον.

Th 822 τὰ ἑξῆς πέντε δίμετρα ἀκατάληκτα· τὸ θʹ μονόμετρον· τὸ δὲ ιʹ δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. εἰσὶν οὖν τὰ ἑξῆς δύο κῶλα τροχαϊκὰ, τὸ πρῶτον δίμετρον ἀκατάληκτον, τὸ δὲ δεύτερον ἑφθημιμερές. ὁ ιγʹ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. τὰ ἑξῆς βʹ κῶλα τροχαϊκὰ ἑφθημιμερῆ. τὰ ἑξῆς δύο κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα. τὰ ἑξῆς γʹ τροχαϊκὰ, τὸ βʹ δίμετρον ἀκατάληκτον, τὰ δὲ βʹ ἑφθημιμερῆ. ὁ καʹ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. τὰ ἑξῆς δʹ ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ εʹ, τροχαϊκὸν ἑφθημιμερές. ὁ κζʹ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος. τὰ ἑξῆς δʹ κῶλα ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ εʹ τροχαϊκὸν ἑφθημιμερές. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. εἰσὶν οὖν στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι εʹ. ἐν ἐκθέσει δὲ κῶλον ἀναπαιστικὸν ἑφθημιμερὲς, ὅμοιον τοῖς ἑξῆς. ἔθος γάρ ἐστι τοῖς ποιηταῖς ἐν ταῖς ἐκθέσεσι τῶν μελῶν τοιαῦτα κῶλα τιθέναι ὅμοια τοῖς ἑξῆς. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν αὖθις. καί εἰσι κῶλα ἀναπαιστικὰ θʹ, ὧν τὰ μὲν ἑπτὰ δίμετρα ἀκατάληκτα, τὸ ηʹ μονόμετρον, ὃ καὶ παρατελευταῖον ὀνομάζεται· ἔθος γάρ ἐστιν ἐν ταῖς ἐκθέσεσι τῶν μελῶν ὡς ἐπὶ τὸ πλεῖστον τὸ παρατελευταῖον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κῶλον μονόμετρον τιθέναι· τὸ δὲ θʹ κῶλόν ἐστιν ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. σύνηθες γὰρ τὸ ἑφθημιμερὲς ἐν τῷ τέλει κεῖσθαι τοῦ μέλους. ἰὼ ἰὼ δυσαδελφόταται] τὸ πρῶτον ἰαμβικὸν μονόμετρον, τὰ δὲ δʹ ἀναπαιστικά.

Th 874 ἰὼ ἰὼ δύσφρονες] τροχαϊκὰ τὰ γʹ. τὸ δὲ βʹ ἰαμβικὸν τρίμετρον. τετυμμένοι δῆθ’] ἀντισπαστικὰ ἡμιόλια βʹ καὶ ἓν μονόμετρον.

Th 897 ἀναυδάτῳ μένει] ὅμοια ἡμιόλια γʹ. διήκει δὲ καὶ πόλιν] ὅμοια ἑφθημιμερῆ δʹ καὶ ἡμιόλια βʹ καὶ πενθημιμερὲς ἕν.

Th 915 δόμων μάλ’ ἀχὼ] ὅμοια δίμετρα ἀκατάληκτα ἕξ. τὸ δὲ ζʹ ἑφθημιμερές. πάρεστι δ’ εἰπεῖν] ὅμοια ἑφθημιμερῆ εʹ.

Th 934 ὁμόσποροι δῆτα] ἀντισπαστικοὶ θʹ ἡμιόλιοι. πικρὸς λυτὴρ] ὅμοια ϛʹ καταληκτικά.

Th 941 τὰ δὲ εʹ ἑφθημιμερῆ. ἔχουσι μοῖραν] ὅμοια δʹ.

Th 947 τὸ πρῶτον τρίμετρον καταληκτικὸν, τὸ δὲ γʹ ἑφθημιμερές. ἰὼ πολλοῖς] ὅμοια δέκα, τὰ μὲν δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἡμιόλια.

Th 961 παισθεὶς ἔπαισας] τὰ ἑξῆς ταῦτα ἰαμβικὰ εʹ· τὸ αʹ τρίμετρον, τὰ δὲ γʹ δίμετρα· τὰ γὰρ βʹ πρόσωπα ἓν ποιοῦσι κῶλον· τὸ δὲ πέμπτον ἑφθημιμερές. ἠὲ ἠέ] μονόμετρον.

Th 967 ἐντὸς δὲ καρδία στένει] ἰαμβικοὶ τρεῖς δίμετροι. πρὸς φίλου γʹ ἔφθισο] τροχαϊκοὶ βʹ ἰθυφαλλικοί.

Th 971 διπλᾶ λέγειν] ἰαμβικὰ δίμετρα γʹ. Μοῖρα βαρυδότειρα] τροχαϊκὰ βʹ.

Th 978 ἠὲ ἠὲ δυσθέατα] τροχαϊκὰ γʹ. οὐδ’ ἵκεθ’ ὡς κατέκτανε] ἰαμβικὰ ζʹ.

Th 986 Μοῖρα βαρυδότειρα] ὅμοια τοῖς ἄνω. σὺ τοίνυν οἶσθα] ἰαμβικὰ θʹ.

Th 997 ἰὼ ἰὼ, καὶ πρόσω γ’ ἐμοὶ] κῶλα ιβʹ. τὰ πρῶτα ἰαμβικὴ βάσις, τὰ δὲ βʹ τροχαϊκὰ ἑφθημιμερῆ. δοκοῦντα καὶ δόξαντ’] εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς.

Th 1005 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι μθʹ. φεῦ φεῦ, ὦ μεγάλαυχοι] διπλῆ ἐν ἐκθέσει τοῦ δράματος ἀμοιβαίας τὰς περιόδους ἔχουσα.

Th 1053 τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ δʹ, μονόμετρα κϛʹ, ὧν τὸ κεʹ μονόμετρον, παρατελευταῖον ὀνομαζόμενον, τὸ δὲ κϛʹ τὸ “κατακλυσθῆναι τὰ μάλιστα,” ἑφθημιμερές. καὶ ἑξῆς ἡ κορωνὶς ἡ τὸ δρᾶμα ἀποπερατοῦσα.

ΠΕΡΣΑΙ.

Pers 1 Τάδε μὲν Περσῶν] ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου. τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, καὶ μονόμετρα ξεʹ. εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς τὸ μέτρον τοῦτο ἐνήλλαξε. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ καὶ ἀκατάληκτα καὶ μονόμετρα μζʹ, ὧν τὸ τελευταῖον τροχαϊκὸν ἰθυφαλλικὸν διὰ τὰ ἑξῆς. εἶτα εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο. καί εἰσι τὰ ἑξῆς κῶλα τροχαϊκὰ δίμετρα καταληκτικὰ ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ βραχυκατάληκτοι, ἤτοι ἰθυφαλλικὰ, καὶ ἀκατάληκτα κϛʹ, ὧν τὸ παρατελευταῖον ἀναπαιστικὸν διὰ τὰ ἑξῆς πενθημιμερῆ, τὸ δὲ τελευταῖον ἰθυφαλλικόν. μετὰ δὲ τὸ βʹ κῶλον καὶ τὸ ηʹ μόριόν τι κώλου τὸ ὀά τίθεται. εἶτα μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν τὸ πρῶτον αὖθις ἔλαβε μέτρον. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ καὶ μονόμετρα ιεʹ. ἐν ἐκθέσει δὲ στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ δʹ, ὅμοιοι τοῖς ἑξῆς. ταῦτα δὴ λιποῦς’ ἱκάνω] ἡ εἴσθεσις μονοστροφικῆς περιόδου, εἰ δὲ βούλει, διπλῆς μερικῆς.

Pers 159

οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ ιζʹ. πολλοῖς μὲν αἰεὶ] ἡ εἴσθεσις μονοστροφικῆς περιόδου.

Pers 176 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λθʹ, ὧν τελευταῖος σωθεὶς δ’ ὁμοίως τῆσδε κοιρανεῖ χθονός. οὔ σε βουλόμεσθα] ἡ εἴσθεσις διπλῆς μερικῆς.

Pers 215 οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ λδʹ, ὧν τελευταῖος καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν. ὦ γῆς ἁπάσης] εἴσθεσις ἑτέρα διπλῆς μερικῆς στίχων καὶ κώλων μαʹ.

Pers 249 εἰσὶ δὲ οἱ μὲν στίχοι τοῦ ὑποκριτοῦ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ δὲ κῶλα τοῦ χοροῦ ἀντισπαστικά. ἄνια] ἀντισπαστικὰ κῶλα τὰ μὲν γʹ ἡμιόλια, τὸ δὲ δʹ πενθημιμερές.

Pers 256 ἔοικε δὲ στροφῇ. στυγναὶ δ’ Ἀθῆναι] ἀντισπαστικὰ κῶλα δʹ, ὅμοια τοῖς πρὸ αὐτῶν.

Pers 286 ἔοικε δὲ ἀντιστροφῇ. σιγῶ πάλαι δύστηνος] εἴσθεσις διπλῆς καθόλου ἐν μονοστροφικαῖς περιόδοις.

Pers 290 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι σμβʹ, ὧν τελευταῖος μὴ καί τι πρὸς κακοῖσι πρόσθηται κακόν. ἀλλ’, ὦ Ζεῦ βασιλεῦ νῦν Περσῶν] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ξϛʹ, ὧν τὰ μὲν ιϛʹ εἰσὶν ἀναπαιστικὰ, τὸ γʹ καὶ τὸ ηʹ μονόμετρα, τὰ λοιπὰ δίμετρα ἀκατάληκτα· τὸ δὲ ιϛʹ ἑφθημιμερές.

Pers 532 εἶτα εἰς ἑτέραν μεταβὰς ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξε, καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ λϛʹ, ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, τὰ δὲ ἡμιόλια, τὰ δὲ τρίμετρα βραχυκατάληκτα. εἶτα πάλιν ἐνήλλαξε τὸ μέτρον, καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ ιδʹ, ἃ καλεῖται προσοδιακὰ, διὰ τὸ ἐκ χοριάμβου καὶ Ἰωνίου ἀπ’ ἐλάσσονος συγκεῖσθαι. εἰσὶ δὲ τὰ μὲν πρῶτα δʹ δίμετρα ἀκατάληκτα, τὰ δὲ ἑξῆς γʹ δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ. τὰ τούτων ἑξῆς δʹ δίμετρα ἀκατάληκτα ὅμοια τοῖς πρώτοις τὰ δὲ ἑξῆς γʹ ἑφθημιμερῆ πάλιν, ὧν τελευταῖον “νᾶσος ἔχει τὰ Περσῶν.” φίλοι, κακῶν μὲν] ἡ μονοστροφικὴ αὕτη περίοδος στίχων ἐστὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων κεʹ, ὧν τελευταῖος τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς. [10]

Pers 623 βασίλεια γύναι] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων νηʹ, ὧν τὰ πρῶτα ιʹ εἰσὶν ἀναπαιστικὰ, τὸ μὲν δʹ μονόμετρον, τὸ δὲ εʹ καὶ ιʹ ἑφθημιμερῆ, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα. ἑξῆς δὲ τούτων μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν ἐνήλλαξε καὶ τὸ μέτρον. καί εἰσι κῶλα ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ μονοστροφικὰ μή, ὧν τελευταῖον νᾶες ἄναες ἄναες. ὦ πιστὰ πιστῶν] εἴσθεσις διπλῆς καθόλου, ἧς προτίθενται στίχοι ἰαμβικοὶ ιγʹ. [5]

Pers 681 ἑξῆς δὲ τούτων κῶλα τοῦ χοροῦ ἀναπαιστικὰ γʹ, ὧν τὰ βʹ δίμετρα βραχυκατάληκτα, τὸ δὲ γʹ δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, ὃ καλεῖται παροιμιακόν. ἑξῆς τούτων στίχοι τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ γʹ. ἑξῆς τούτων κῶλα ὅμοια τοῖς ἄνω ἀναπαιστικὰ γʹ. ἑξῆς δὲ ἔτι τούτων ἡ τελεία διπλῆ. οἱ δὲ στίχοι εἰσὶ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ νϛʹ, ὧν τελευταῖος τήνδ’ ἐβούλευσεν κέλευθον καὶ στράτευμ’ ἐφ’ Ἑλλάδα. τοιγάρ σφιν ἔργον] διπλῆ ἑτέρα ἐχομένη τῆς προτέρας διπλῆς. [5]

Pers 759 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ἐνενήκοντα τρεῖς, ὧν τελευταῖος οὐ γὰρ τὰ φίλτατ’ ἐν κακοῖς προδώσομεν. ὦ πόποι] ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων νζʹ, ὧν τὰ μέν εἰσιν ἀναπαιστικὰ μονόμετρα ἀκατάληκτα, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ ἑφθημιμερῆ, ἤτοι δίμετρα καταληκτικὰ, ἃ καλεῖται παροιμιακά.

Pers 852

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ δέ εἰσιν ἰαμβικὰ δίμετρα ἀκατάληκτα, τὰ δὲ τροχαϊκὰ ἑφθημιμερῆ καὶ ἰθυφαλλικὰ, ὧν τελευταῖον πλαγαῖσι ποντίαισιν, ὅπερ ἰαμβικόν ἐστιν ἑφθημιμερές. ἰὼ, δύστηνος ἐγὼ] εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος. [5]

Pers 908 τὰ δὲ κῶλα τὰ μέν εἰσιν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ καὶ πενθημιμερῆ καὶ βραχυκατάληκτα δίμετρα καὶ μονόμετρα, τὰ δὲ τροχαϊκὰ ἑφθημιμερῆ καὶ πενθημιμερῆ, τὰ δὲ ἰαμβικὰ δίμετρα ἀκατάληκτα καὶ τρίμετρα ἀκατάληκτα καὶ μονόμετρα, ὧν τελευταῖον καὶ παντὸς τοῦ δράματος πέμψω σε δυσθρόοις γόοις· ὅπερ ἰαμβικόν ἐστι δίμετρον ἀκατάληκτον· καὶ ἑξῆς τούτου ἡ κορωνὶς ἡ τὸ δρᾶμα ἀποπερατοῦσα. αἶ αἶ] τὰ β′ ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα. [5]

Pers 928 τὸ γ′ μονόμετρον. τὸ δὲ δ′ πενθημιμερὲς ἐκ προκελευσματικοῦ. ὅδ’ ἐγὼν] τὰ β′ ἑφθημιμερῆ, τὸ δὲ γ′ δίμετρον ἐκ προκελευσματικοῦ.

Pers 935 πρόσφθογγον] τὸ α′ ἑφθημιμερὲς, τὰ ς′ δὲ μονόμετρα, ἔχοντα καὶ πόδας προκελευσματικούς. ἵετ’ αἰανὴν] τὸ α′ δίμετρον ἀκατάληκτον.

Pers 940 μονόμετρα δὲ τὰ γ′. τὸ δ′ δὲ ἐκ προκελευσματικοῦ. ποῦ δὲ φίλων] τροχαϊκὰ ς′ ἑφθημιμερῆ, τὸ δὲ ζ′ πενθημιμερές.

Pers 962 ὀλοοὺς] ἀναπαιστικὰ δ′. τὰ γ′ δίμετρα βραχυκατάληκτα, τὸ δ′ πενθημιμερές. ποῦ δέ σοι Φαρνοῦχος] τροχαικὰ ζ′, τὰ μὲν δ′ ἑφθημιμερῆ, τὰ δὲ β′ δίμετρα ἀκατάληκτα, τὸ ζ′ πενθημιμερές.

Pers 973 ἰὼ ἰώ μοι] πενθημιμερὲς ἰαμβικόν. τὰς ὠγυγίας κατιδόντες] ἀναπαιστικὰ δ′.

Pers 974 τὸ α′ ἑφθημιμερὲς, τὰ γ′ δίμετρα βραχυκατάληκτα. ἴυγγά μοι δῆτ’ ἀγαθῶν] ἀναπαιστικὰ δίμετρα βραχυκατάληκτα ε′.

Pers 993 καὶ μὴν ἄλλο] ἀναπαιστικὰ ζ′. τὸ β′ δίμετρον ἀκατάληκτον, τὸ ε′ μονόμετρον, τὰ δὲ λοιπὰ ἑφθημιμερῆ. ἔταφον ἔταφον] ἰαμβικὰ τρίμετρα βραχυκατάληκτα γ′.

Pers 1000 τὸ δ′ δίμετρον ἀκατάληκτον. ἰὴ ἰὴ, ἰὼ, ἰὼ] ἰαμβικὰ δ′.

Pers 1003 τὰ γ′ δίμετρα ἀκατάληκτα. τὸ δὲ δ′ ἑφθημιμερές. πεπλήγμεθ’.

Pers 1009 εὔδηλα γὰρ] κῶλα ε′. τὸ α′ καὶ γ′ καὶ δ′ ἰαμβικὰ ἑφθημιμερῆ, περιοδικὰ καλούμενα διὰ τὸ ἐξ ἰαμβικῆς καὶ τροχαϊκῆς συζυγίας συγκεῖσθαι. τὸ β′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. τὸ δὲ ε′ ἀναπαιστικὸν ὅμοιον. πῶς δ’ οὒ] ἰαμβικὰ δ′.

Pers 1014 τὸ μὲν α′ ἑφθημιμερὲς, τὰ δὲ γ′ πενθημιμερῆ. ὁρᾷς] ἰαμβικὰ ε′.

Pers 1018 τὸ α′ τρίμετρον, τὸ β′ καὶ δ′ μονόμετρα, τὸ γ′ δίμετρον, τὸ ε′ ἑφθημιμερές. βαιά] τροχαϊκὰ ἰθυφαλλικά.

Pers 1034 λυπρὰ, χάρματα] ἀναπαιστικὰ πενθημιμερῆ γ′. τὸ δὲ δ′ ἰαμβικὸν δίμετρον ἀκατάληκτον. δίαινε] ἰαμβικὸν τρίμετρον.

Pers 1039 αἶ αἶ] ἰαμβικὰ δίμετρα ἀκατάληκτα δ′. ὀτοτοτοτοῖ] ἰαμβικὸν μονόμετρον ἐκ τριβράχου.

Pers 1044 βαρεῖα] δίμετρα ὅμοια β′. ἔρεσς’ ἔρθεσσε] ἰαμβικὸν τρίμετρον.

Pers 1047 διαίνομαι] ἰαμβικὰ δίμετρα ἀκατάληκτα δ′. ὀτοτοτοτοῖ] ἰαμβικὰ γ′.

Pers 1051 τὸ α′ μονόμετρον ἐκ τριβράχου, τὸ β′ δίμετρον ἀκατάληκτον, τὸ δὲ γ′ ἑφθημιμερές. ἰὼ ἰὼ Περσὶς] τροχαϊκά.

Pers 1076 πέμψω σε] ἰαμβικὸν δίμετρον. ΑΓΑΜΕΜΝΩΝ.

Ag 1 Θεοὺς μὲν αἰτῶ] ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου, οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λη′, ὧν τελευταῖος μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι. μετὰ δὲ τὸν κδ′ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. δέκατον μὲν ἔτος] ὁ παρὼν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χορὸς συνέστηκεν ἐκ κώλων σλβʹ, ὧν τὰ μὲν ξθʹ ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ καὶ μονόμετρα.

Ag 40 ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξεν. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ πενθημιμερῆ καὶ ἑφθημιμερῆ καὶ δίμετρα ἀκατάληκτά τινα καὶ μονόμετρα ξδʹ. ἑξῆς δὲ εἰς ἑτέραν ὑπόθεσιν μεταβὰς καὶ ἑτέρῳ μέτρῳ ἐχρήσατο. καί εἰσι τὰ ἑξῆς κῶλα χοριαμβικὰ δίμετρα καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, καὶ ἀκατάληκτα καὶ ἡμιόλια καὶ πενθημιμερῆ, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικὰ ρδʹ, ὧν τελευταῖον γαίας μονόφρουρον ἕρκος. τὰ δὲ τοιαῦτα εἴδη τῶν χορῶν, ὡς εἴρηται καὶ ἐν τῇ ἀρχῇ τοῦ τῶν Περσῶν δράματος, ἑτέρως εἰσὶν ἐσχηματισμένα. τὰ μὲν γάρ εἰσι μονοστροφικὰ καὶ συστηματικὰ κατὰ περιορισμοὺς ἀνίσους, τὰ δὲ κατὰ σχέσιν. εἰσὶ δὲ τὰ κατὰ σχέσιν στροφῶν ἕξ. ἔστι δὲ τῆς παρούσης μονοστρόφου στροφῆς τὰ κῶλα ἀναπαιστικὰ ξδʹ, ὧν τὰ μέν εἰσι δίμετρα ἀκατάληκτα, τὰ δὲ μονόμετρα, τὰ δὲ τῶν ἀποθέσεων δίμετρα καταληκτικὰ, ἤγουν ἑφθημιμερῆ. ἐπὶ ταῖς ἀποθέσεσι πάσαις παράγραφος. κύριός εἰμι] ἐντεῦθεν αἱ κατὰ σχέσιν ἄρχονται στροφαὶ, καί εἰσι τῆς πρώτης ταυτησὶ στροφῆς κῶλα ιθʹ καὶ τὰ τῆς ἀντιστροφῆς τοσαῦτα.

Ag 104 εἰσὶ δὲ τὰ πλείω μὲν ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤγουν ἑφθημιμερῆ, καὶ μονόμετρα καὶ πενθημιμερῆ, τινὰ δὲ καὶ δακτυλικὰ ἰαμβικὰ, ἃ καὶ μετρήσεις ἑπόμενος οἷς πρότερον εἰρήκαμεν. τὸ μέντοι τελευταῖον κῶλον τῆς τε στροφῆς καὶ ἀντιστροφῆς καὶ τῆς ἐπῳδοῦ καλεῖται ἐφύμνιον, καὶ ἐστὶ δακτυλικὸν πεντάμετρον. ἐπὶ τῷ τέλει τῆς στροφῆς καὶ ἀντιστροφῆς παράγραφος. ἔστι δὲ τριὰς ἐπῳδική. ἥκω σεβίζων] αἱ ἑξῆς αὗται συστημάτων περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων ἐνενήκοντα ἑπτὰ, ὧν τελευταῖος χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων.

Ag 258 ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος καὶ ἐπὶ τῷ τέλει κορωνίς ἐστι τοῦ χοροῦ. ὦ Ζεῦ βασιλεῦ] εἴρηται ἡμῖν ἐν τῷ τῶν Περσῶν δράματι περὶ τοῦ εἴδους τούτου τῶν χορῶν· ὅμοιον γάρ ἐστιν ἐκείνοις καὶ τοῦτο.

Ag 355 ἔχει γὰρ ἐν ἀρχῇ μὲν σύστημα ἐπιφθεγματικὸν, εἰς δύο διῃρημένον περιόδους κώλων ἀναπαιστικῶν ιβʹ, ἑξῆς δὲ στροφὰς γʹ καὶ ἀντιστροφὰς τοσαύτας καὶ ἐπῳδόν. καλεῖται δὲ ταῦτα ἑπτὰς ἐπῳδική. ἐπὶ ταῖς ἀποθέσεσι παράγραφος, ἐπὶ δὲ τῷ τέλει τῆς ἐπῳδοῦ κορωνὶς καὶ παράγραφος. ὁ χρυσαμοιβὸς] στροφὴ ἑτέρων κώλων ιζʹ.

Ag 456 βαρεῖα δ' ἀστῶν] ἀντιστροφὴ κώλων ιζʹ. πυρὸς] ἐπῳδὸς κώλων ιεʹ.

Ag 681 τίς ποτ' ὠνόμαζεν] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ρκζʹ, ὧν τὰ μὲν ρʹ εἰσὶ χοριαμβικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, πενθημιμερῆ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. ἑξῆς δὲ μεταβὰς εἰς ἑτέραν ὑπόθεσιν καὶ τὸ μέτρον ἐνήλλαξε. καί εἰσι τὰ ἑξῆς κῶλα ἀναπαιστικὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, καὶ μονόμετρα κζʹ, ὧν τελευταῖον πόλιν οἰκουροῦντα πολιτῶν. τίς ποτ' ὠνόμαζεν] στροφὴ κώλων ιζʹ. Ἰλίῳ δὲ κῆδος] ἀντιστροφὴ κώλων ιζʹ.

Ag 717 ἔθρεψεν] στροφὴ ἑτέρα κώλων ιʹ. χρονισθεὶς δ' ἀπέδειξεν] ἀντιστροφὴ κώλων ιʹ.

Ag 737 παραυτὰ δ' οὖν ἐλθεῖν] στροφὴ ἑτέρα κώλων ιβʹ. παλαίφατος δ' ἐν τοῖς βροτοῖς] ἀντιστροφὴ κώλων ιβʹ.

Ag 764 φιλεῖ] στροφὴ ἑτέρα κώλων ιʹ. Δίκα] ἀντιστροφὴ κώλων ιʹ.

Ag 783 ἄγε δὴ βασιλεῦ] σύστημα ἐπιφθεγματικὸν κώλων ἀναπαιστικῶν κζʹ. πρῶτον μὲν Ἄργος] εἴσθεσις διπλῆς μονοστροφικῆς τε καὶ συνεχοῦς.

Ag 810 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρξεʹ, ὧν τελευταῖος μέλοι δέ τοί σοι τῶνπερ ἂν μέλλῃς τελεῖν. τίπτε μοι] ὁ παρὼν χορὸς συνίσταται ἐκ κώλων χοριαμβικῶν ξʹ, ὧν τὰ μέν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ καὶ ἡμιόλια, καὶ τρίμετρα βραχυκατάληκτα, ὧν τελευταῖον ζωπυρουμένας φρενός.

Ag 975 τίπτε μοι] στροφὴ κώλων ιγ′. πεύθομαι] ἀντιστροφὴ κώλων ιγ′.

Ag 1001 μάλα γὰρ] στροφὴ ἑτέρα κώλων ιε′. τὸ δ’ ἐπὶ γᾶν] ἀντιστροφὴ κώλων ιε′.

Ag 1035 εἴσω κομίζου] αἱ συστηματικαὶ αὗται περίοδοι στίχων εἰσὶν ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων λζ′, ὧν τελευταῖος ἑκοῦς’ ἀνάγκῃ τῇδε καίνισον ζυγόν. ὀτοτοτοτοῖ ποποῖ δᾶ] εἴσθεσις διπλῆς ἀμοιβαίας τὰς περιόδους μονοστροφικὰς καὶ συνεχεῖς ἔχουσα.

Ag 1072 εἰσὶ δὲ οἱ μὲν τοῦ χοροῦ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, τὰ δὲ τοῦ ἑτέρου προσώπου κῶλα ἀντισπαστικά. ἔοικε δὲ ταῦτα στροφῇ καὶ ἀντιστροφῇ, καὶ εἰσὶ τῆς μὲν στροφῆς κῶλα β′, ὧν τὸ α′ ἡμιόλιον, τὸ δὲ β′ πενθημιμερές. ὁμοίως καὶ τῆς ἀντιστροφῆς· τὰ αὐτὰ γάρ εἰσι κῶλα. ἔχουσι δὲ καὶ πόδας πεντασυλλάβους. Ἄπολλον] ἑτέρα στροφή· κῶλα γ′, ὧν τὸ α′ πενθημιμερὲς, τὸ β′ δίμετρον ἀκατάληκτον, τὸ γ′ ἰαμβικὸς στίχος τρίμετρος ἀκατάληκτος.

Ag 1086 Ἄπολλον] ἀντιστροφὴ ἔχουσα κῶλα γ′ ὅμοια τοῖς τῆς στροφῆς. μισόθεον] ἑτέρα στροφὴ ἔχουσα κῶλα γ′, ὧν τὸ α′ ἀντισπαστικὸν τρίμετρον βραχυκατάληκτον, τὸ β′ δίμετρον ἀκατάληκτον.

Ag 1090 ἔχουσι δὲ πεντασυλλάβους πόδας. τὸ δὲ γ′ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. μαρτυρίοισι γὰρ] ἀντιστροφὴ ἑτέρα ἔχουσα κῶλα γ′ ὅμοια τοῖς τῆς στροφῆς.

Ag 1100 ἰὼ πόποι] ἑτέρα στροφὴ ἔχουσα κῶλα ε′, ὧν τὸ πρῶτον ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β′ δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερές. τὸ γ′ ἰαμβικὸν τρίμετρον ἀκατάληκτον. τὸ δ′ ἀντισπαστικὸν τρίμετρον καταληκτικόν· τὸ δὲ ε′ πενθημιμερές. ἔχουσι δὲ τοὺς πόδας πεντασυλλάβους. ἰὼ τάλαινα] ἑτέρα ἀντιστροφὴ ἔχουσα κῶλα ε′ ὅμοια τοῖς τῆς στροφῆς.

Ag 1114 ἒ ἒ παπαῖ] ἐντεῦθεν ἑτέρως ἐσχημάτισε τὰ μέτρα, καὶ προέθηκε τῆς στροφῆς κῶλόν τι τὸ ἒ ἔ. τὰ δὲ ἑξῆς κῶλά εἰσιν ε′, ὧν τὸ α′ ἀντισπαστικὸν δίμετρον ὑπερκατάληκτον, τὸ β′ δίμετρον καταληκτικὸν, ἤτοι ἑφθημιμερὲς, τὸ γ′ ἰαμβικὸν τρίμετρον, τὸ δ′ ὅμοιον τῷ α′, τὸ δὲ ε′ τρίμετρον καταληκτικὸν, καὶ αὐτὸ ἀντισπαστικόν. ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας. ποίαν Ἐρινὺν] ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶ ϛ′, ὧν τὰ πρῶτα β′ ἰαμβικὰ τρίμετρα, τὸ γ′ καὶ δ′ ἀντισπαστικὰ τρίμετρα καταληκτικὰ, τὸ ε′ δίμετρον ὑπερκατάληκτον, τὸ δὲ ϛ′ ἑφθημιμερές.

Ag 1119 ἔχουσι δὲ καὶ πεντασυλλάβους πόδας. ἀᾶ, ἰδοὺ] ἀντιστροφή ἐστιν αὕτη τῆς ῥηθείσης στροφῆς καὶ ἔχει κῶλα ἰσόμετρα ἐκείνῃ ε′.

Ag 1130 οὐ κομπάσαιμ’ ἂν] τῆς τοῦ χοροῦ στροφῆς αὕτη ἐστὶν ἀντιστροφὴ, ἔχουσα κῶλα ὅμοια ϛ′. ἰὼ ἰὼ ταλαίνας] στροφὴ ἑτέρα κώλων ε′, ὧν τὸ α′ μονόμετρον, τὸ β′ δίμετρον ὑπερκατάληκτον ἀντισπαστικὸν, τὸ γ′ τρίμετρον καταληκτικὸν ὅμοιον, τὸ δ′ ἰαμβικὸν τρίμετρον, τὸ ε′ ὅμοιον τῷ γ′.

Ag 1140 φρενομανής] ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ϛ′ ἀντισπαστικῶν, ὧν τὸ α′ τρίμετρον βραχυκατάληκτον, τὸ β′ πενθημιμερὲς, τὸ γ′ δίμετρον ἀκατάληκτον, τὸ δ′ τρίμετρον καταληκτικὸν, τὸ ε′ ὅμοιον τῷ α′, τὸ ϛ′ ὅμοιον τῷ β′. ἰὼ ἰὼ λιγείας] ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ε′.

Ag 1151 πόθεν ἐπισσύτους] ἀντιστροφὴ ἑτέρα τῆς τοῦ χοροῦ στροφῆς κώλων ὁμοίων ϛ′. ἰὼ γάμοι γάμοι] ἑτέρα στροφὴ κώλων ϛ′ ἀντισπαστικῶν, ὧν τὸ α′ καὶ β′ τρίμετρον ἀκατάληκτον, τὸ γ′ τρίμετρον βραχυκατάληκτον, τὸ δ′ πενθημιμερὲς, τὸ ε′ καὶ τὸ ϛ′ ὅμοια τῷ πρώτῳ.

Ag 1162

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τί τόδε τορὸν] ἑτέρα στροφὴ τοῦ χοροῦ κώλων ε′ ἀντισπαστικῶν, ὧν τὸ α′ δίμετρον ὑπερκατάληκτον, τὸ β′ ἑφθημιμερὲς, τὸ γ′ τρίμετρον καταληκτικὸν, τὸ δ′ ὅμοιον, τὸ ε′ πενθημιμερές. ἰὼ πόνοι] ἀντιστροφὴ τῆς ἄνω στροφῆς κώλων ὁμοίων ϛ′.

Ag 1173 ἑπόμενα] ἀντιστροφὴ τοῦ χοροῦ κώλων ὁμοίων ε′. καὶ μὴν ὁ χρησμός] εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς.

Ag 1178 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ′, ὧν τελευταῖος καὶ ταῦτ᾽ ἐκείνων μᾶλλον οἰκτείρω πολύ. μετὰ δὲ τὸν λϛ′ κῶλον ἰαμβικὸν δίμετρον ἀκατάληκτον. μετὰ δὲ τὸν ῥκζ′ κῶλον ὅμοιον μονόμετρον βραχυκατάληκτον. μετὰ δὲ τὸν ρλδ′ κῶλον ὅμοιον μονόμετρον ἀκατάληκτον. τὸ μὲν εὖ πράσσειν] εἴσθεσις χοροῦ ἐπῳδικὴ, διὰ τὸ μετὰ τὴν διπλῆν κεῖσθαι.

Ag 1331 τὰ δὲ κῶλά εἰσιν ἀναπαιστικὰ ιβ′, ὧν τὸ ϛ′ μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ. ὤμοι πέπληγμαι] εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικῆς.

Ag 1343 οἱ δὲ στίχοι εἰσὶν ξδ′, ὧν ὁ β′ καὶ δ′ καὶ δ′ καὶ ε′ τροχαϊκοὶ τετράμετροι καταληκτικοὶ, οἱ δὲ λοιποὶ ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι, ὧν τελευταῖος ἔργον δικαίας τέκτονος. τάδ᾽ ὧδ᾽ ἔχει. τί κακὸν] στροφὴ χοροῦ ἐκ κώλων ἀντισπαστικῶν ε′, ὧν τὸ α′ δίμετρον ὑπερκατάληκτον, τὸ β′ τρίμετρον βραχυκατάληκτον, τὸ γ′ τρίμετρον καταληκτικὸν, τὸ δ′ ὅμοιον, τὸ ε′ ὅμοιον.

Ag 1412 νῦν μὲν δικάζεις] ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιδ′. μεγαλόμητις] ἀντιστροφὴ ἔχουσα κῶλα ε′ ὅμοια τοῖς τῆς στροφῆς ἀντισπαστικοῖς.

Ag 1431 καὶ τήνδ᾽ ἀκούεις] ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιζ′. φεῦ, τίς ἂν ἐν τάχει] εἴσθεσις διπλῆς μονοστρόφους ἔχουσα τὰς περιόδους· οὐ γὰρ ἔχει ἀντιστροφήν.

Ag 1448 καί εἰσι τοῦ μὲν χοροῦ τὰ κῶλα χοριαμβικὰ, τοῦ δὲ ἑτέρου προσώπου ἀναπαιστικά. εἰσὶ δὲ τῆς παρούσης στροφῆς κῶλα χοριαμβικὰ ιδ′ δίμετρα καὶ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα. μετὰ δὲ τὸ ζ′ κῶλον κώλου τμῆμα τὸ ἰώ. μηδὲν θανάτου] ἀναπαιστικὰ κῶλα ϛ′, ὧν τὸ β′ μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ϛ′ ἑφθημιμερές.

Ag 1468 δαῖμον] στροφὴ ἑτέρα κώλων χοριαμβικῶν ζ′. εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα. νῦν δ᾽ ὤρθωσας] ἀναπαιστικὰ ὅμοια τοῖς προρρηθεῖσιν ἕξ.

Ag 1481 ἦ μέγαν οἴκοις] ἑτέρα στροφὴ κώλων χοριαμβικῶν ιε′. εἰσὶ δὲ τὰ μὲν δίμετρα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα καὶ ἀκατάληκτα, τὰ δὲ ἡμιόλια. μετὰ δὲ τὸν η′ καὶ ιβ′ κώλων τμήματα. αὐχεῖς] ἀναπαιστικὰ κῶλα η′, ὧν τὸ β′ καὶ ζ′ μονόμετρα, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ η′ ἑφθημιμερές.

Ag 1505 ὡς μὲν ἀναίτιος] στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν η′. ἰὼ ἰὼ βασιλεῦ] ἀναπαιστικὰ κῶλα ζ′, ὧν τὸ β′ μὲν καὶ ζ′ ἑφθημιμερὲς, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, ὧν προτίθεται κῶλον ἰαμβικὸν μονόμετρον βραχυκατάληκτον.

Ag 1521 οὔτ᾽ ἀνελεύθερον] ἀναπαιστικὰ κῶλα θ′, ὧν τὸ β′ μὲν μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ θ′ ἑφθημιμερές. ἀμηχανῶ] στροφὴ ἑτέρα κώλων ὁμοίων τοῖς ῥηθεῖσι χοριαμβικῶν ζ′.

Ag 1538 ἰὼ γᾶ γᾶ] ἀναπαιστικὰ κῶλα ι′, ὧν τὸ α′, τὸ γ′ καὶ τὸ ϛ′ καὶ τὸ θ′ μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι′ ἑφθημιμερές. τίς δ᾽ ἐπιτύμβιον] χοριαμβικὰ κῶλα ὅμοια τοῖς ῥηθεῖσι δ′.

Ag 1551 οὔ σε προσήκει] ἀναπαιστικὰ κῶλα θ′, ὧν τὸ γ′ τὸ ϛ′ καὶ τὸ η′ μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα καταληκτικὰ, τὸ δὲ θ′ ἑφθημιμερές. ὄνειδος ἥκει] ἑτέρα στροφὴ κώλων ὁμοίων τοῖς ῥηθεῖσι ζ′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ag 1560 ἔοικε δὲ ἀντιστροφὴ εἶναι τῆς στροφῆς, ἧς ἡ ἀρχὴ, ἀμηχανῶ. ὅμοια γὰρ ἔχει τὰ κῶλα. ἐς τόνδ’ ἐνέβη] ἀναπαιστικὰ κῶλα ι′, ὧν τὸ β′ μονόμετρον, τὰ δὲ λοιπὰ δίμετρα ἀκατάληκτα, τὸ δὲ ι′ ἑφθημιμερές.

Ag 1577 ὦ φέγγος εὖφρον] εἴσθεσις διπλῆς μονοστροφικῆς καὶ συνεχοῦς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι οβ′. ὧν τελευταῖος ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς. ἀλλ’ ἐπεὶ δοκεῖς] εἴσθεσις διπλῆς συνεχοῦς ἐν ἐκθέσει τοῦ δράματος.

Ag 1649 οἱ δὲ στίχοι εἰσὶ τροχαικοὶ κε′, ὧν οἱ κγ′ τετράμετροι καταληκτικοὶ, οἱ δὲ ἐν τῷ τέλει β′ τρίμετροι ὑπερκατάληκτοι. ΕΥΜΕΝΙΔΕΣ.

Eum 1 Πρῶτον μὲν εὐχῇ] ἡ εἴσθεσις τοῦ παρόντος δράματος ἐκ μονοστροφικῆς ἐστι περιόδου καὶ ἑξῆς ἐκ συνεχοῦς διπλῆς. οἱ δὲ στίχοι τρίμετροι ἀκατάληκτοι ρλε′. μετὰ δὲ τὸν ρις′, τὸν ριη′, τὸν ρκ′, τὸν ρκβ′ κώλου τμήματα δ′, ἃ μονόμετρά ἐστι βραχυκατάληκτα. μετὰ δὲ τὸν ρκδ′ ἕτερα β′ κῶλα, ὧν τὸ ἓν δίμετρον βραχυκατάληκτον, τὸ δὲ ἕτερον ἑφθημιμερὲς ἐκ τριβραχέων. εἰ δὲ τροχαϊκὰ τὰ κῶλα ταῦτα εἴποις, οὐκ ἂν ἁμάρτοις. ὁ δὲ τελευταῖος ἔπου, μάραινε δευτέροις διώγμασιν. ἔγειρ’ ἔγειρε] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων σποράδην κειμένων ιβ′, κώλων δὲ ἀντισπαστικῶν μονομέτρων καὶ διμέτρων καὶ τριμέτρων καταληκτικῶν καὶ ἀκαταλήκτων καὶ βραχυκαταλήκτων κθ′, ὧν τελευταῖος μιάστορ’ ἐκείνου πράσσεται. [5]

Eum 179 ἔξω κελεύω] εἴσθεσις διπλῆς. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ξε′, ὧν τελευταῖος αὐτοῦ φυλάσσων ἀναμένω τέλος δίκης. εἶεν· τόδ’ ἐστὶ] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ στίχων καὶ κώλων λβ′, ὧν οἱ μέν εἰσιν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι στίχοι ιη′, τὰ δὲ κῶλα ἀντισπαστικὰ ιδ′, ἡμιόλια καὶ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ τρίμετρα βραχυκατάληκτα καὶ καταληκτικά. [5]

Eum 276 ἐγὼ διδαχθεὶς] εἴσθεσις διπλῆς μερικῆς δύο περιόδων. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λα′, ὧν τελευταῖος ὕμνον δ’ ἀκούσῃ τόνδε δέσμιον σέθεν. ἄγε δὴ] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων ἀναπαιστικῶν ιε′, ὧν τὰ μέν ἐστι δίμετρα ἀκατάληκτα, τὰ δὲ καταληκτικὰ, ἤτοι ἑφθημιμερῆ, τὰ δὲ πενθημιμερῆ, τὰ δὲ μονόμετρα.

Eum 322 μᾶτερ, ἅ μ’ ἔτικτες] ἡ μονοστροφικὴ αὕτη περίοδος κώλων ἐστὶ χοριαμβικῶν κδ′, ὧν τὰ μέν εἰσιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα, τὰ δὲ τρίμετρα, ὧν τελευταῖον —μικτος αὔων βροτούς. γιγνομέναισι λάχη] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν νβ′, ὧν τὰ μέν ἐστιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ βραχυκατάληκτα, ὧν τελευταῖον τάξιν γ’ ἔχουσα καὶ δυσήλιον κνέφας. [5]

Eum 347 ὃς μόνος ἰαμβικός ἐστι τρίμετρος. πρόσωθεν ἐξήκουσα] εἴσθεσις διπλῆς μονοστροφικῆς συνεχοῦς.

Eum 397 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ϟβ′, ὧν τελευταῖος ὅρκον περῶντας μηδὲν ἔκδικον φρεσίν. νῦν καταστροφαὶ] ὁ παρὼν χορὸς συνέστηκεν ἐκ κώλων χοριαμβικῶν οβ′, ὧν τὰ μέν ἐστιν ἡμιόλια, τὰ δὲ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα, τὰ δὲ τρίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ βραχυκατάληκτα, ὧν τελευταῖον ὤλετ’ ἄκλαυστος, ἄϊστος. [5]

Eum 566 κήρυσσε, κῆρυξ] εἴσθεσις διπλῆς καθόλου. οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ρμθ′ (corr. σιβ′,) ὧν τελευταῖος σωτήριόν τε καὶ δορὸς νικηφόρου. ἰὼ θεοὶ νεώτεροι] ᾠδὴ χοροῦ ἐπῳδικὴ, διὰ τὸ μετὰ τὴν διπλῆν τίθεσθαι.

Eum 778 ἔχει δὲ τοὺς πρώτους μὲν γ′ στίχους ἰαμβικοὺς τριμέτρους ἀκαταλήκτους, τὰ δὲ ἑξῆς κῶλά εἰσιν ἀντισπαστικὰ πενθημιμερῆ καὶ δίμετρα καταληκτικὰ καὶ ἀκατάληκτα καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

βραχυκατάληκτα καὶ τρίμετρα ιγʹ. οὐκ ἔστ’ ἄτιμοι] εἴσθεσις διπλῆς ἀμοιβαίας καὶ μονοστροφικὰς ἔχουσα τὰς περιόδους. [5]

Eum 824 εἰσὶ δὲ τὰ τοῦ χοροῦ μὲν κῶλα ἀντισπαστικὰ, τὰ δὲ τοῦ ἑτέρου προσώπου ἰαμβικοὶ στίχοι τρίμετροι. τῆς πρώτης οὖν περιόδου στίχοι εἰσὶν ιγʹ. ἐμὲ παθεῖν] ἡ στροφὴ αὕτη τοῦ χοροῦ κώλων ἐστὶν ἀντισπαστικῶν διμέτρων βραχυκαταλήκτων καὶ πενθημιμερῶν καὶ μονομέτρων καὶ τριμέτρων ιαʹ.

Eum 870 ἐμὲ παθεῖν] ἡ μεσῳδικὴ αὕτη ἀντιστροφὴ κώλων ἐστὶν ἀντιπαστκιῶν ιαʹ. τὰ αὐτὰ δέ ἐστι κῶλα ἃ καὶ ἐν τῇ στροφῇ εἴρηκεν. οὔτοι καμοῦμαι] εἴσθεσις διπλῆς συνεχοῦς μερικῆς.

Eum 881 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι λεʹ, ὧν τελευταῖος τήνδ’ ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλει. δέξομαι Παλλάδος] εἴσθεσις διπλῆς ἐν ἐκθέσει τοῦ δράματος ἀμοιβαίας τὰς περιόδους ἔχουσα.

Eum 916 εἰσὶ δὲ τὰ μὲν τοῦ χοροῦ κῶλα χοριαμβικὰ, τὰ δὲ τοῦ ἑτέρου προσώπου ἀναπαιστικά. εἰσὶ δὲ τὰ τῆς πρώτης ταύτης στροφῆς κῶλα χοριαμβικὰ ὅμοια τοῖς προρρηθεῖσιν ιαʹ. τάδ’ ἐγὼ προφρόνως] τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα ιαʹ. [5]

Eum 938 δενδροπήμων] τὰ τοῦ χοροῦ ταῦτα κῶλα χοριαμβικά ἐστιν ιαʹ ὅμοια καὶ ἰσόμετρα τοῖς ἄνω. ἔστι δὲ ἀντιστροφὴ τῆς ἄνω στροφῆς. τάδ’ ἀκούετε] τὰ κῶλα ταῦτ’ ἀναπαιστικά ἐστι δίμετρα ἀκατάληκτα καὶ καταληκτικὰ ζʹ.

Eum 956 ἀνδροκμῆτας] στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσι ιβʹ. τάδε τοι χώρᾳ] τὰ κῶλα ταῦτα ἀναπαιστικά εἰσι δίμετρα καὶ μονόμετρα ηʹ τὰν δ’ ἄπληστον κακῶν] ἀντιστροφὴ τῆς ἄνω στροφῆς.

Eum 976 τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια ιβʹ. ἆρα φρονοῦσι] τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι δίμετρα καὶ μονόμετρα ηʹ.

Eum 996 χαίρετ’ ἐν αἰσιμίαις πλούτου] στροφὴ ἑτέρα. τὰ δὲ κῶλά εἰσι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσι ζʹ. χαίρετε χὐμεῖς] τὰ κῶλα ταῦτα ἀναπαιστικά ἐστι καὶ δίμετρα καὶ μονόμετρα ιαʹ.

Eum 1014 χαίρετε, χαίρετε δ’ αὖθις] ἑτέρα στροφή. τὰ δὲ κῶλά ἐστι χοριαμβικὰ ὅμοια τοῖς ῥηθεῖσιν ηʹ. αἰνῶ δὲ μύθους] ἑτέρα περίοδος ἐν ἐκθέσει τοῦ δράματος.

Eum 1021 οἱ δὲ στίχοι εἰσὶν ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι ιηʹ. βᾶτ’ ἐκ δόμων] ἑτέρα στροφὴ ἐν ἐκθέσει τελευταίᾳ τοῦ δράματος.

Eum 1032 τὰ δὲ κῶλα χοριαμβικά ἐστιν ὅμοια τοῖς ῥηθεῖσι δεκαέξ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org